ἀπώλεια δὲ ἐστὶ λήθη· διότι ἐξ αὐτῆς τὰ ὑπάρχοντα
ἀπόλλυνται: Τὰ σὰ περιεργάζου καὶ ξγ
καὶ μὴ τὰ τοῦ πλησίον· καὶ οὐ μὴ συληθῇ
σου τὸ νοερὸν ἐργαστήριον: Παρὰ τῶν κατὰ δύ ξδ
ναμιν διοχώρησον ἃ ἠμέλησας· ἐλεημο
σύνη δὲ καὶ προσευχὴ ἀνακαλεῖται τοὺς
ἀμελήσαντας: Πᾶσα θλίψις κατὰ θεόν, ξε
τρόπον ἐστὶν εὐσεβείας ἐνυπόστατον· ἡ
γὰρ ἀληθινὴ ἀγάπη δι' ἐναντίων δοκιμάζεται:
Μὴ λέγε κεκτῆσθαι ἀρετὴν ἐκτὸς θλίψεως· ξς
ἀδόκιμος γάρ ἐστι διὰ τὴν ἄνεσιν:
Πάσης ἀκουσίου θλίψεως ἀναλογίζου τὴν ἔκβα ξζ
σιν· καὶ εὑρήσεις ἐν αὐτῇ ἁμαρτίας ἀναίρεσιν:
Πολλαὶ συμβουλίαι τοῦ πέλας πρὸς τὸ ξη
σύμφορον· ἐκκοπῆς δὲ τῆς ἰδίας γνώμης,
οὐδὲν ἁρμοδιώτερον: Ζήτει τὸν θεραπευτήν, ἐ ξθ
πιμέλησαι τῆς συνειδήσεως· καὶ ὅσα λέγει
ποίησον· καὶ εὑρήσεις τὴν ὠφέλειαν:
Τὰ κρυπτὰ ἡμῶν ὁ θεὸς οἶδε καὶ ἡ συνείδησις· ο
καὶ διὰ τούτων αὐτῶν λαμβανέτω διόρθωσιν: